ταῦτα δὲ λέγεται ὅτι οἱ ὀρχούμενοι τὴν γῆν ἐν τῷ ὀρχεῖσθαι κρούουσιν, ἐνίοτε μὲν, κατὰ τοὺς ῥυθμοὺς, ἐμπείρως, ἐνίοτε δὲ, παρὰ τοὺς ῥυθμοὺς, ἀπείρως. κρούματα λέγω τοῦ Ασιάδος, δηλονότι χώρας, εἴτε τῆς Ασίας. Ασιὰς δὲ, τὸ σύνεχον, καὶ τὸ ὅλον. ἡ δὲ Φρυγία μέρος αὐτῆς τῆς Ασίας, καὶ τὸ συνεχόμενον. τὰ δὲ ἑξῆς, κατὰ προσθήκην λέγεται, Φρυγίων Χαρίτων διανεύματα. καὶ γὰρ οὐχ ἅπασιν αἱ Χάριτες τὸ καλῶς, καὶ εὐρύθμως ὀρχεῖσθαι, ἢ μελῳδεῖν χαρίζονται, ἀλλ' ἐκείνοις, οὓς ἀγαπῶσιν. ὁ δὲ νῦν παράρυθμον δι' ἑνὸς ρ, ἀλλαχοῦ παράρρυθμον διὰ δυοῖν ρρ. διὰ τὴν σύνθεσιν γράφεται. Κίθαριν τε ματέρ' ὕμνων.] Εὐστάθιος. κίθαρις, ἡ κιθάρα κατὰ τὴν Αἰολικὴν παραγωγὴν, παρὰ τὸ κεύθειν τοὺς ἔρωτας. μητέρα δὲ τῶν ὕμνων λέγει μεταφορικῶς, ὅτι οἱ κιθαρῳδοὶ κρέκοντες, τουτέστι τὴν κιθάραν κρούοντες, καὶ ψάλλοντες τοὺς ὕμνους γεννᾶν πως, καὶ εἰς φῶς ἐκπέμπειν φαίνονται. Πίνδαρος δὲ τῶν Ολυμπίων ᾠδῇ β. τοὺς ὕμνους ἀναξιφόρμιγγας καλεῖ, τοὺς διὰ τῶν φορμίγγων, ἢ ἐν τῇ φόρμιγξιν ἀνάσσοντας, εἴτε βασιλεύοντας. Αρσενι βοᾷ δοκίμῳ.] ἀσύνδετον. ἀντὶ τοῦ ἄρσενι, καὶ δοκίμῳ βοῇ. τουτέστι τῇ θαυμαστῇ, καὶ δεδοκιμασμένῃ φωνῇ. ὥς φησι Σουίδας. Τᾷ φῶς ἔσσυτο] ἡ κιθάρει, ἡ κιθάρᾳ φῶς ὥρμησεν ὄμμασι δαιμονίοις. τοῦτο δὲ λέγει ὅτι τὸ λαμπρὸν τῆς φωνῆς ἐν ταῖς μάχαις μάλιστα τοὺς ἄνδρας ἐξεγείρει, καὶ αὐτοῖς ὥσπερ δαιμόνιόν τι φῶς φέρει. διὰ τούτων δὲ ὁ ποιητὴς καταγελᾷ τοῦ Αγάθωνος μεγαλορρημονοῦντος, καὶ ἄχρηστα, καὶ ἀσύστατα προφέροντος. τοῦτο δὲ ἐκ τῶν ἑξῆς δῆλον. τὸ δὲ ἔσσυτο οὕτω σχηματίζεται. σεύω, τὸ ὁρμῶ. ὁ μέλλων σεύσω. ὁ ἀόριστος α. ἔσευσα. παρακείμενος σέσευκα, καὶ κατὰ μετάθεσιν ἔσσευκα. ὅθεν τὸ παθητικὸν ἔσσυμαι, καὶ ὁ ὑπερσυντελικὸς ἐσσύμην, καὶ κατ' ἐκβολὴν τοῦ ε. ἐσσύμην, ἔσσυσο, ἔσσυτο. τοῦτο δὲ ποιητικόν. Οπως.] ὢψ, ὠπὸς, διὰ τοῦ ω μεγάλου, τὸ πρόσωπον. ὂψ δὲ ὀπὸς, διὰ τοῦ ο μικροῦ, ἡ φωνή. Σ. ἐνίοτε μέν τοι καὶ ὂψ τὸ πρόσωπον σημαίνει, ὅταν κατ' ἀποκοπὴν ἐκ τοῦ ὄψις γίνεται. ὅταν δὲ τὴν φωνὴν δηλοῖ, τότε παρὰ τὸ ἔπος λέγεται κατὰ συγκοπὴν, καὶ τροπὴν, ἔπς, ἔψ. ὄψ. ἔπος δὲ ὁ μῦθος, ὁ λόγος. Ων χάριν.] ὧν ὕμνων χάριν, εἴτε ἕνεκα. δι' οὓς ὕμνους. Αλλε Φοῖβον τιμᾷ] ἤδε ἡ γραφὴ διεφθαρμένη, καὶ ἄγνωστος. ἀλλὰ πιθανῶς ἴσως γραπτέον, ἄλλος Φοῖβον τιμᾷ. ἀντὶ τοῦ πᾶς τις. τῷ γὰρ ὄντι πᾶς τις τὸν Φοῖβον διὰ τοὺς ὕμνους, καὶ τὴν μουσικὴν, ἧς ἡγεμὼν, καὶ προστάτης ἐστὶν, εἴωθε τιμᾶν. τινὲς γράφουσιν ἕκαστος. Ολολύζεις γέρων.] τινὲς ὀλόλυζε γράφουσιν. εἰς δὲ τὴν θηλύτητα καὶ λαγνείαν αὐτοῦ ἀποβλέπων τοῦτο λέγει. τὸ γὰρ ὀλολύζειν παρ' Ομήρῳ τὸ τρανεστέρᾳ φωνῇ εὔξασθαι, καὶ θεοὺς ἐπιβοᾶσθαι, περὶ γυναικῶν λεγόμενον. παρὰ δὲ τοῖς ὕστερον τὸ θρηνεῖν, οἱονεὶ τὸ ὀλοὸν λύζειν. καὶ ὀλολυγὴ, γυναικεία εὐχὴ μετὰ ἐνθεασμοῦ, καὶ ἐμμελοῦς τινος, καὶ λείου ἤχου, Εὐστάθιος. καὶ ὀλολύζειν. τὸ μετὰ κραυγῆς εὔχεσθαι, Ομηρος. Αἱ δ' ὀλόλυξαν.

Σ. καὶ ὀλολυγὴ, φωνὴ γυναικῶν, ἣν ποιοῦνται ἐν τοῖς ἱεροῖς εὐχόμεναι. καὶ ἄνθος τι παρὰ λίμναις γινόμενον. καὶ ὀλολυγμὸς, ὁ θρῆνος, καὶ κλαυθμός. Ησύχ.

D

## ΜΝΗΣΙΛΟΧΟΣ, ΑΓΑΘΩΝ, Εὐριπίδης.

Bisetus. Στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ρξέ. ὧν ὁ τελευταῖος,

Δούλοις γὰρ οὐκ ἔξεστ' ἀκούειν τῶν λόγων,

Μνησίλοχος δὲ τὴν τοῦ Αγάθωνος μελῳδίαν εἰρωνικῶς ἐπαινεῖ. Εὐριπίδης δὲ τὴν αἰτίαν τῆς πρὸς αὐτὸν παρουσίας δηλοῖ. τὸν δὲ Αγάθωνα σκληρὸν, καὶ ἀκίνητον ὄντα, καὶ μηδὲν Εὐριπίδου χάριν κατὰ τὰς παλαιὰς ὑποσχέσεις ποιεῖν ἐθέλοντα λοιδοροῦσι, καὶ ὡς κάκιστον ψέγουσι.

E

## MNESILOCHVS, AGATHON, Euripides.

Μν. Ως ἡδὺ τὸ μέλος ὦ πότνιαι γενετυλλίδες
Καὶ θηλυδριῶδες, καὶ κατεγλωττισμένον
Καὶ μανδαλωτὸν ὥστ' ἐμοῦ γ' ἀκροωμένου
Υπὸ τὴν ἕδραν αὐτὴν ὑπῆλθε γάργαλος,
Καί σ' ὦ νεανίσχ' ἥ τις εἶ κατ' Αἰσχύλον,
Εκ τῆς Λυκουργίας ἐρέσθαι βούλομαι
Ποδαπὸς ὁ γύννις; τίς πάτρα; τίς ἡ στολή;
Τίς ἡ τάραξις τοῦ βίου; τί βάρβιτος
Λαλεῖ κροκωτῷ; τί δὲ λύρα κεκρυφάλῳ;

*MN. Quam suauis cantilena, ô venerandæ genitabiles,*
*Et effœminata & lasciua*
*Et molle, vt mei quidem audientis*
*Sub sedem ipsam subierit titillatio.*
*Et te ô adolescens, quisnam secundum Æschylum*
F *Ex Lycurgia tragœdia interrogare volo,*
*Cuias semiuir? quænam patria? quis amicitus?*
*Quænam confusio vitæ? quid barbitos*
*Loquitur cum crocotula? quid verò lyra cum vita?*

Bourdinus. Ω πότνιαι γενετυλλίδες.] δαίμονες. γενετυλλὶς γὰρ δαίμων λέγεται ὁ περὶ τὴν ἀφροδίτην τῆς γενέσεως αἴτιος. ἀπὸ τῆς γενέσεως τῶν τέκνων ὠνομασμένος. Θηλυδριῶδες.] τὸ κατακεκλασμένον, τὸ τεθηλυμένον, διὰ τῆς ἐξαγίστου ἡδονῆς. καὶ θηλυδρίαι, τειχοπλάσται εἰσίν. Κατεγλωττισμένον] πάσῃ μαλακίᾳ γλωττῶν μεμιγμένον, τουτέστιν λέξεων. Γλῶττα γὰρ λέξιν σημαίνει. καταγλωττισμοὶ δὲ λέγονται αἰσχρὰ καὶ ἄσεμνα φιλήματα καταστάματα, παντοῖαι μυραλοιφίαι ἢ περιλαλήματα, καὶ εἶδος φιλήματος λέγεται, ὡς Αριστοφ. χρῆται ἐν Νεφ. μύρου κρόκου καταγλωττισμάτων. κυρίως δὲ καταγλώττισμα λέγεται, ὅταν ἐν τῷ καιρῷ τῆς συνουσίας ὁ ἀνὴρ τὴν γλῶτταν ἐν τῷ τῆς γυναικὸς ἐμβάλλῃ στόματι. Καὶ μανδαλωτὸν] εἶδος φιλήματος ποικίλον καὶ ἡδύ. Αριστοφάνης δὲ βουλόμενος ἐξελέγχειν τεχνικῶς τὴν μαλακίαν καὶ θηλύτητα τοῦ Αγάθωνος, ἐποίησε τὸν Μνησίλοχον ἀκούσαντα ᾀσμάτων τοῦ Αγάθωνος, ἐπαινεῖν τὰ ἐκείνου μέλη, διὰ τῶν ῥημάτων μαλακῶν, ἀκαίρων καὶ ἐκλύτων.

G